www.tezaurliturgic.ro

ΑΡΧΙΜ. ΘΕΟΚΛΗΤΟΥ ΧΡ. ΝΤΖΑΘΑ
ΔΙΕΥΘΥΝΤΟΥ
ΡΙΖΑΡΕΙΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΣΧΟΛΗΣ
ΑΘΗΝΩΝ

# ΟΙ ΑΓΙΟΙ ΜΑΡΤΥΡΕΣ



# ΚΥΠΡΙΑΝΟΣ ΚΑΙ ΙΟΥΣΤΙΝΑ

(Βίος καί Μαρτύριον - Ὑμνογραφικά)

Ἔκδοσις
Ἑνώσεως Φίλων Ὀρθοδόξου Πατερικῆς Παραδόσεως
καὶ Παιδείας " Ὁ Ἅγιος Κυπριανός "

www.tezaurliturgic.ro



# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

# («ΧΑΙΡΕΤΙΣΜΟΙ»)

Κοντάκιον.
Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

**Τ**ὸν ἐκ τῆς πλάνης ὡς ἀστέρα ἀναλάμψαντα, Κυπριανόν τὸν θεοφάντορα τιμήσωμεν, Σὺν αὐτῷ καί Ἰουστίναν τὴν μακαρίαν · Ὁ μὲν ὤφθη Ἱεράρχης ἐνθεώτατος, Ἡ δὲ νύμφη τοῦ Σωτῆρος ἐχρημάτισε · Τούτοις λέγοντες · Ἀθληταί Χριστοῦ χαίρετε!

**Ἄ**γγελος ἐν τῷ βίῳ, προσελθών τῷ Κυρίῳ, σοφέ Κυπριανέ ἀνεδείχθης ( ἐκ γ` ) · καὶ ἀριστεύσας ἀθλητικῶς, ἐπουρανίων ἐπάθλων ἠξίωσαι · διὸ σου τὴν λαμπρότητα, θαυμάζοντες ἀναβοῶμεν ·

χαῖρε δι' οὗ ὁ Χριστός αὐγάζει,
χαῖρε δι' οὗ ὁ ἐχθρός στενάζει ·
χαῖρε τῶν πεσόντων τῇ πλάνῃ ἀνόρθωσις,
χαῖρε τῶν δογμάτων τοῦ σκότους ἀπώθησις ·
χαῖρε ὕψος ἐπιγνώσεως τῆς κενώσεως Χριστοῦ,
χαῖρε βάθος πάσης χάριτος βίου Εὐαγγελικοῦ ·
χαῖρε ὅτι ἐπέγνως τοῦ ἐχθροῦ τὴν ἀπάτην,
χαῖρε ὅτι διέγνως τοῦ Θεοῦ τὴν ἀγάπην ·
χαῖρε ἀστήρ τῆς θείας χρηστότητος,
χαῖρε λαμπτήρ τῆς ἄνω λαμπρότητος ·
χαῖρε δι' οὗ ὁ Χριστός ἐδοξάσθη,
χαῖρε δι' οὗ ὁ ἐχθρός κατεπλάγη ·

Χαίροις Κυπριανέ μακάριε !

**Β**λέμμα τὸ τῆς ψυχῆς σου, ἤνοιξας ὡς ἀγχίνους, καὶ εἶδες καὶ ἐπέγνως θεόφρον, τὸ θαυμαστόν ὡς ἀληθῶς φῶς, τοῦ πρὸς γνῶσίν σε ἀληθῆ καλέσαντος, Χριστοῦ τοῦ Παντοκράτορος, Κυπριανέ ᾧ ἀνεβόας ·

Ἀλληλούϊα ,

www.tezaurliturgic.ro



**Γ**νώσει τῆς ἀληθείας, αὐγασθεῖσα θεόφρον, ἀπεῖπας τῶν ματαίων τὴν ὕλην, καὶ παρθένος ὤφθης ἐκλεκτή, Ἰουστίνα τὸν Χριστόν ἀγαπήσασα · διό σε μακαρίζοντες, ἀναβοῶμέν σοι τοιαῦτα ·

χαῖρε τὸ ἄνθος τῆς παρθενίας,
χαῖρε τὸ κρίνον τῆς εὐσεβείας ·
χαῖρε μυροθήκη ἠθῶν καθαρότητος,
χαῖρε συστοιχία ἁπάσης σεμνότητος ·
χαῖρε σκεῦος πολυτίμητον ἐπιπνοίας θεϊκῆς,
χαῖρε ἄρωμα οὐράνιον εὐωδίας μυστικῆς ·
χαῖρε ὅτι τοῦ κόσμου ὁλοτρόπως ἀπέστης,
χαῖρε ὅτι τῷ Λόγῳ νοητῶς ἐνυμφεύθης ·
χαῖρε Χριστοῦ ἀγάπης θησαύρισμα,
χαῖρε φωτός ἀΰλου ἐναύλισμα ·
χαῖρε φθαρτῶν ὑπερόπτις ἁπάντων ,
χαῖρε καλῶν κοινωνία ἀφθάρτων ·

Χαίροις Ἰουστίνα ἔνδοξε !

**Δ**ύναμιν οὐρανόθεν, δεδεγμένη θεόφρον, ἀπώσω τοῦ ἐχθροῦ τὴν μανίαν, καὶ τὴν κατά σοῦ ὁρμήν αὐτοῦ, ὡς παίδων διαλέλυκας ἀθύρματα , Ἰουστίνα πανεύφημε, τῷ σὲ δυναμοῦντι βοῶσα ·

Ἀλληλούϊα ,

**Ἔ**καυσας παρρησίᾳ, ὡς ὕλην ἀπωλείας, τὰς δέλτους τῆς κακίστης μαγείας, καί ἐδέξω ἔνδον ἐν ψυχῇ , τοῦ Παρακλήτου Κυπριανέ τὴν ἔλλαμψιν, δι' ἧς ὡς φῶς ἐξέλαμψας , καταφωτίζων τοὺς βοῶντας ·

χαῖρε τῆς πλάνης ὁ καθαιρέτης,
χαῖρε τοῦ ψεύδους ὁ ἀναιρέτης ·
χαῖρε ὁ γνωρίσας ἐχθροῦ τὴν ἀσθένειαν,
χαῖρε ὁ πλουτήσας Χριστοῦ τὴν εὐμένειαν·
χαῖρε ἔργον περιλάλητον ἀλλοιώσεως σεπτῆς,
χαῖρε πλοῦτος πολυποίκιλος γνώσεως τῆς θεϊκῆς ·
χαῖρε ὅτι ἐπλήσθης φωτισμοῦ οὐρανίου,

www.tezaurliturgic.ro



χαῖρε ὅτι ἐπήρθης μετοχῆς ἐπιγείου·
χαῖρε παθῶν νεκρώσας τὸ ὅρμημα,
χαῖρε ψυχῆς ζωώσας τὸ φρόνημα·
χαῖρε Χριστοῦ ἐρασθείς τῆς πτωχείας,
χαῖρε κενῆς μακρυνθείς εὐδοξίας·

Χαίροις Κυπριανέ μακάριε!

Ζῆλον τὸν πρὸς τὰ χείρω, μεταθέμενος Πάτερ , πρὸς ἔφεσιν καὶ πόθον τῶν θείων, Ἀποστόλων ὤφθης ζηλωτής, ὡς ἐν σοφίᾳ πολύς καὶ περίδοξος· σοφῶς γὰρ ὑποτέταξαι, Κυπριανέ ᾧ καί ἐβόας·

Ἀλληλούϊα,

Ἤρθης πρὸς θεῖον ὕψος, ἐν Χριστῷ συνδεθεῖσα, Κυπριανῷ τῷ παμμακαρίστῳ · καὶ πολιτείαν ἤσκεις σεμνήν, τῇ Ἐκκλησίᾳ διακονοῦσα πάνσεμνε · διὸ Ἰουστίνα σε, τιμῶντες ἐκβοῶμεν οὕτω ·

χαῖρε παρθένος ἡ μακαρία,
χαῖρε τῆς χάριτος γεωργία·
χαῖρε τὸν Χριστόν ἐκ καρδίας ποθήσασα,
χαῖρε τοῦ ἐχθροῦ τὴν ἀπάτην μισήσασα·
χαῖρε βίου καθαρότητος ἀκηλίδωτος εἰκών,
χαῖρε ἔμψυχον ὑπόδειγμα τῶν παρθένων τῶν σεμνῶν·
χαῖρε ὅτι ἐκλύεις τὴν ὁρμήν τοῦ δολίου,
χαῖρε ὅτι ἐκφαίνεις τὴν ἰσχύν τοῦ Κυρίου·
χαῖρε ἀμνάς Χριστοῦ καλλιπάρθενος ,
χαῖρε καλή ἐν πᾶσι καὶ ἄμεμπτος·
χαῖρε δι' ἧς ἡ κακία τροποῦται,
χαῖρε δι' ἧς ὁ Βελίαρ νεκροῦται·

Χαίροις Ἰουστίνα ἔνδοξε !

www.tezaurliturgic.ro



**Θ**εολήπτῳ καρδίᾳ, καὶ ἀγάπη τελείᾳ , Χριστῷ ἐφεπομένη Ἁγίᾳ , σὺν Κυπριανῷ τῷ ἱερῷ, ἀθλητικόν διηνύσατε στάδιον · καὶ νῦν ταῖς ἄνω τάξεσι, συνόντες Χριστῷ ἐκβοᾶτε ·

Ἀλληλούϊα,

**Ἱ**εράρχης θεόφρον, καὶ πιστός οἰκονόμος, τῶν θείων μυστηρίων παμμάκαρ, ἐδείχθης νεύσει θεαρχικῇ, Κυπριανέ καί τῷ Θεῷ ὡδήγησας , λόγοις ὁμοῦ καὶ πράξεσι, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα ·

χαῖρε ποιμήν Χριστοῦ τῶν προβάτων,
χαῖρε πηγή ἀΰλων ναμάτων ·
χαῖρε ὁ διδάξας Χριστοῦ τὴν χρηστότητα,
χαῖρε ὁ ἐκλάμψας ζωῆς καθαρότητα ·
χαῖρε Ἱεράρχης ὅσιος καί ἐν δόγμασι σοφός,
χαῖρε θεηγόρος ἔνθεος καὶ ποιμήν ἀληθινός ·
χαῖρε ὅτι ποιμαίνεις ἱερῶς τὴν σὴν ποίμνην,
χαῖρε ὅτι ἐκτρέπεις τῆς ἀπάτης τὴν λύμην ·
χαῖρε σπορεῦ δογμάτων τῆς πίστεως,
χαῖρε τομεῦ σπερμάτων τοῦ χείρονος ·
χαῖρε ψυχῶν καλλονῆς εἰσηγήτωρ,
χαῖρε καλῶν προκοπῆς ὑφηγήτωρ ·

Χαίροις Κυπριανέ μακάριε !

**Κ**ήρυξ τῆς ἀληθείας καὶ φωστήρ Ἐκκλησίας και σάλπιγξ εὐσπλαγχνίας τῆς θείας τοῖς εἴδεσι πάσης ἀρετῆς κεκοσμημένος Κυπριανέ πέφηνας · τὴν θύραθεν σοφίαν γὰρ, ὑπέταξας Θεῷ κραυγάζων ·

Ἀλληλούϊα ,

**Λ**άμπουσα πολιτείᾳ, Ἰουστίνα ἁγίᾳ, προσήγαγες ὡς προῖκα Κυρίῳ, ἀθλήσασα ἀνδρείᾳ ψυχῆς, τῶν σῶν αἱμάτων τὴν χύσιν πανεύφημε · ἐντεῦθέν σου τὴν ἄθλησιν, γεραίροντες ἀναβοῶμεν ·

www.tezaurliturgic.ro



χαῖρε λαμπάς τῆς θείας ἀγάπης,
χαῖρε βολίς κατά τῆς ἀπάτης·
χαῖρε μαρτυρίου τοὺς πόνους ἐνέγκασα,
χαῖρε τῶν τυράννων τὸ θράσος ἐλέγξασα·
χαῖρε ἀσθενείᾳ φύσεως καθελοῦσα τὸν ἐχθρόν,
χαῖρε εὐσεβείας σκάμμασι μεγαλύνασα Χριστόν·
χαῖρε ὅτι βασάνων τὰς ὀδύνας ὑπέστης,
χαῖρε ὅτι ἐν δόξῃ πρὸς τὰ ἄνω μετέστης·
χαῖρε Χριστοῦ ὁρῶσα τὴν ἔλλαμψιν,
χαῖρε ψυχῶν ζωοῦσα τὴν νέκρωσιν·
χαῖρε ζωῆς ἀθανάτου πυξίον,
χαῖρε χαρᾶς ἀϊδίου δοχεῖον·

Χαίροις Ἰουστίνα ἔνδοξε!

**Μ**αρτυρίου τὸν δρόμον, Ἰουστίνα θεόφρον, τελέσασα ψυχῇ ἀνενδότῳ, σὺν τῷ ἁγίῳ Κυπριανῷ, ὑπερκοσμίου εὐκλείας ἐτύχετε, δαιμόνων τὴν ἐπήρειαν, ἐκτρέποντες ἐκ τῶν βοώντων·

Ἀλληλούϊα,

**Ν**εκρωθείς τοῖς ἐν κόσμῳ, Ἱεράρχα θεόφρον, μιμούμενος Χριστόν τὸν Σωτῆρα, τούτου τὸ πάθος Κυπριανέ, ἐζήλωσας ἀθλήσας ὥσπερ ἄσαρκος, δαιμόνων ἅπαν τέχνασμα, ἀποτρέπων ἐκ τῶν βοώντων·

χαῖρε ὁ κήρυξ τῆς εὐσεβείας,
χαῖρε ἡ πτῶσις τῆς ἀνομίας·
χαῖρε Ἱεράρχα καὶ Μάρτυς ἀήττητε,
χαῖρε μυστηπόλε τῶν ἄνω περίδοξε·
χαῖρε ξίφος τὸ ἀμφίστομον μαγικῶν ἐνεργειῶν,
χαῖρε μάστιγξ ὀλετήριος χαλεπῶν μαγγανειῶν·
χαῖρε ὅτι ἐλέγχεις τῶν εἰδώλων τὸν δόλον,
χαῖρε ὅτι ἰθύνεις πρὸς οὐράνιον δρόμον·
χαῖρε Χριστοῦ κηρύττων τὴν κένωσιν,
χαῖρε ἐχθροῦ ἀπείργων τὴν δύναμιν·
χαῖρε ῥοαῖς φοινιχθείς τῶν αἱμάτων,

www.tezaurliturgic.ro



χαῖρε αὐγὴν ἀπαστράπτων θαυμάτων·

Χαίροις Κυπριανὲ μακάριε!

Ξενοτρόπως ἐπώφθης, καὶ ἐδήλωσας Πάτερ, τὴν σὴν ὡς ἀληθῶς εὐδοκίαν· ὅθεν ἀγαλλομένη ψυχῇ, τὸν σὸν ἅγιον οἶκον ᾠκοδόμησαν, Κυπριανὲ μακάριε, ἐν ᾧ βοῶμεν τῇ Τριάδι·

Ἀλληλούϊα,

Ὅλῳ νοΐ Κυρίῳ, τῶν ψυχῶν τῷ νυμφίῳ, προσέχουσα σεμνὴ Ἰουστίνα, βίον διήνυες ἱερόν, καὶ μαρτυρίου ὑπῆλθες τὸ στάδιον· διὸ τὴν καρτερίαν σου, ἀγάμενοι πιστῶς βοῶμεν·

χαῖρε Κυρίῳ ἡ νυμφευθεῖσα,
χαῖρε τοῦ κόσμου ἡ χωρισθεῖσα·
χαῖρε παρθενίας τὸ θεῖον ὀσφράδιον,
χαῖρε σωφροσύνης τὸ ἔμπνουν ἀλάβαστρον·
χαῖρε θείας ἐπιλάμψεως ὄργανον τὸ μυστικόν,
χαῖρε χάριτος τοῦ Πνεύματος σκήνωμα τὸ ἱερόν·
χαῖρε ὅτι ἐπήρθης τῇ ἀγάπῃ τοῦ Κτίστου,
χαῖρε ὅτι ἐλύθης τοῦ ῥοώδους σαρκίου·
χαῖρε σεμνῶν παρθένων ἀγλάϊσμα,
χαῖρε στερρῶν Μαρτύρων ὡράϊσμα·
χαῖρε πιστῶν ἡ πτεροῦσα τὸν πόθον,
χαῖρε Χριστοῦ γεωργοῦσα τὸν λόγον·

Χαίροις Ἰουστίνα ἔνδοξε!

Πλήρης οὖσα Ἁγία, τῆς ἀγάπης τῆς θείας, μακρύνασα τὸν νοῦν τῶν γηΐνων, οὐκ ᾐσθάνου πόνων ἀλγεινῶν, προσαγομένων τῷ θείῳ σου σώματι, ἀλλ' ἀνέπαφος μένουσα Ἰουστίνα ἐβόας·

Ἀλληλούϊα,

www.tezaurliturgic.ro



**Ρ**είθροις τῶν σῶν αἱμάτων, τὴν στολήν σου φοινίξας, σοφέ Ἱερομάρτυς Κυρίου, ἀνῆλθες πρὸς τὴν ἄνω σκηνήν, Κυπριανέ τὰ ὑπέρ νοῦν θεώμενος, καὶ Χριστόν ἱλεούμενος, τοῖς πίστει σοι ἀεί βοῶσι·

χαῖρε τὸ κλέος τῶν Ἐπισκόπων,
χαῖρε ἡ δόξα τῶν Ἀθλοφόρων ·
χαῖρε ἱερέων ὡραῖος διάκοσμος,
χαῖρε εὐσεβούντων ὁ θεῖος διδάσκαλος ·
χαῖρε ζηλωτής θερμότατος Ἀποστόλων τοῦ Χριστοῦ, χαῖρε Ἀθλητής στερρότατος τοῦ τῶν ὅλων Ποιητοῦ ·
χαῖρε ὅτι τὴν κάραν ἀπετμήθης προθύμως ,
χαῖρε ὅτι θεόθεν ἐδοξάσθης ἀξίως ·
χαῖρε Χριστοῦ πιών τὸ ποτήριον,
χαῖρε ἡμῶν τὸ θεῖον προσφύγιον ·
χαῖρε οἴκου τοῦ σεπτοῦ σου προστάτης,
χαῖρε δεινῶν μαγειῶν καταλύτης ·

Χαίροις Κυπριανέ μακάριε !

**Σ**ῶμα σου Ἱεράρχα, μετά τέλος τὸ θεῖον, ὁμοῦ καί τῆς σεμνῆς Ἰουστίνης, χαριτωθέντα παρά Θεοῦ, τῇ παλαιᾷ Ρώμῃ πιστῶς μετήνεγκαν, ἰάματα βλυστάνοντα, τοῖς προσιοῦσι καὶ βοῶσιν ·

Ἀλληλούϊα ,

**Τ**οῦ νυμφῶνος τοῦ θείου, ἔνδον χοροβατοῦσα, ὡς νύμφη τοῦ Χριστοῦ Ἰουστίνα, τοῦτον σου τὸν ἅγιον οἶκον, σὺν τῷ κλεινῷ Κυπριανῷ φυλάττετε , ἐκ πάσης περιστάσεως , ἀεί βοῶντα σοι θεόφρον ·

χαῖρε Χριστοῦ ὁρῶσα τὸ κάλλος ,
χαῖρε ἐχθροῦ πατοῦσα τὸ κράτος ·
χαῖρε τῶν ἀΰλων Ἀγγέλων συνόμιλε,
χαῖρε τῶν Ἁγίων Μαρτύρων ὁμόσκηνε ·
χαῖρε σκέπη καὶ κραταίωμα τοῦ παρόντος σου οἴκου,
χαῖρε πτῶσις καὶ κατάργησις τῆς δαιμονικῆς ὁρμῆς ·
χαῖρε ὅτι παρέχεις ἀθυμίας τὴν λύσιν,

www.tezaurliturgic.ro



χαῖρε ὅτι ἐκφαίνεις τὴν θεόσδοτον κτῆσιν·
χαῖρε παθῶν καθαίρουσα βόρβορον,
χαῖρε πιστῶν εὐφραίνουσα ὅμιλον·
χαῖρε δι᾽ ἧς κατησχύνθη ἡ πλάνη,
χαῖρε δι᾽ ἧς ἡ ἀλήθεια λάμπει·

Χαίροις Ἰουστίνα ἔνδοξε !

**Ὕ**ψωσον τὰς σὰς χεῖρας , πρὸς Χριστόν Ἰουστίνα, ὑπέρ τῆς λογικῆς ταύτης ποίμνης, σὺν τῷ ἱερῷ Κυπριανῷ, ὥς ἄν πάσης ἀνάγκης καὶ κακώσεως, ἀπαύστως ἐκρυώμεθα, οἱ τῇ Τριάδι ἐκβοῶντες·

Ἀλληλούϊα ,

**Φ**ῶς τὸ ἄϋλον βλέπων, τῆς Ἁγίας Τριάδος, σοφέ Κυπριανέ σὺν Ἀγγέλοις, τὸν οἶκον σου τοῦτον τὸν σεπτόν , τῆς τῶν παθῶν σκοτομήνης ἀπάλλαξον · πρὸς σὲ γὰρ σπεύδει πάντοτε, καὶ εὐλαβῶς σοι ἀνακράζει·

χαῖρε οἴκου σου ὁ ἀντιλήπτωρ ,
χαῖρε πενθούντων ὁ παρακλήτωρ·
χαῖρε τῆς μαγείας ἐκλύων τὴν δύναμιν,
χαῖρε τῶν δαιμόνων ἐκτρέπων τὴν σύναρσιν·
χαῖρε ὅτι ἐθεράπευσας τὴν γυναῖκα τῶν δεινῶν,
χαῖρε ὅτι καταβέβληκας τὸν ἀντίπαλον ἐχθρόν·
χαῖρε ὁ ἰατρεύσας νεανίαν τοῦ πάθους,
χαῖρε ὁ ἀπαλλάττων τούς πιστούς πάντοτε ἄλγους·
χαῖρε ἐχθροῦ ἀπείργων τὰ φάσματα ,
χαῖρε πιστοῖς παρέχων ἰάματα·
χαῖρε παθῶν διαλύων τὸν ζόφον,
χαῖρε ψυχῶν θεραπεύων τὸν πόνον·

Χαίροις Κυπριανέ μακάριε !

**Χ**αίρει Ἱερομάρτυς , ὁ ἅγιος σου οἶκος, φρουρόν σε καὶ ἔφορον πλουτῶν , Κυπριανέ θαυματουργέ · καὶ τῇ σῇ προστασίᾳ ἀεί σπεύδων, κηρύττει σου τὰ θαύματα, τῷ σὲ δοξάσαντι βοῶν·

www.tezaurliturgic.ro



Ἀλληλούϊα ,

**Ψ**αλμοσύνθετον αἶνον, σοί προσάγομεν πάντες ὑμνοῦντές σου τῶν ἄθλων τὸ γέρας, ὦ Ἰουστίνα Μάρτυς Χριστοῦ · ἀλλ' ἀεί τὸν σὸν νυμφίον ἱκέτευε, χάριν ἡμῖν καὶ ἔλεος , δοῦναι τοῖς πόθῳ σοι βοῶσι·

χαῖρε Χριστοῦ ἀκήρατος νύμφη,
χαῖρε πιστῶν ἀήττητος νίκη ·
χαῖρε εὐσεβείας τὸ κράτος ἐκφήνασα,
χαῖρε δυσσεβείας τὴν πλάνην αἰσχύνασα ·
χαῖρε φῶς τὸ τρισαυγέστατον δεχομένη δαψιλῶς,
χαῖρε πάντων προστατεύουσα τῶν τιμώντων σε πιστῶς·
χαῖρε Παρθενομάρτυς θαυμαστή Ἰουστίνα,
χαῖρε τῆς Ἐκκλησίας μυστική δαδουχία·
χαῖρε δι' ἧς παθῶν ἰαθήσομαι,
χαῖρε δι' ἧς φωτός ἐμπλησθήσομαι·
χαῖρε οἴκου τοῦ σεπτοῦ λαμπρότης,
χαῖρε κἀμοῦ ἐν Χριστῷ φωτοδότις ·

Χαίροις Ἰουστίνα ἔνδοξε !

**Ὦ** δυάς πανολβία, Κυπριανέ παμμάκαρ, ὁμοῦ καὶ Ἰουστίνα θεόφρον ( ἐκ γ` ) · τῇ Ἁγίᾳ Τριάδι ἀεί, ὑπέρ ἡμῶν μὴ παύσησθε πρεσβεύοντες, ὡς ἄν ζωῆς τῆς κρείττονος, ἀξιωθῶμεν ἐκβοῶντες ·

Ἀλληλούϊα.

Καὶ αὖθις τὸ Κοντάκιον.
Ἦχος πλ. δ`. Τῇ ὑπερμάχῳ.

**Τ**ὸν ἐκ τῆς πλάνης ὡς ἀστέρα ἀναλάμψαντα, Κυπριανόν τὸν θεοφάντορα τιμήσωμεν, Σὺν αὐτῷ καί Ἰουστίναν τὴν μακαρίαν · Ὁ μὲν ὤφθη Ἱεράρχης ἐνθεώτατος, Ἡ δὲ νύμφη τοῦ Σωτῆρος ἐχρημάτισε · Τούτοις λέγοντες · Ἀθληταί Χριστοῦ χαίρετε!